## XIV. — Ὅτι πρὸς τὴν θείαν γνῶσιν ἀνάγκη τῇ ὁδῷ τῆς ἀφαιρέσεως χρῆσθαι.

Δεδειγμένου τοίνυν εἶναί τι πρώτως ὄν, ὃ δὴ φαμὲν εἶναι Θεόν, τὰ ἑπόμενα τούτῳ ζητητέον· χρηστέον δ' ἂν εἴη μάλιστα τῇ τῆς ἀφαιρέσεως ὁδῷ ἐπισκεπτομένους τὴν θείαν οὐσίαν. Ἡ γὰρ θεία οὐσία, πᾶν εἶδος οὗπερ ὁ ἡμέτερος ἐφάπτεται νοῦς ὑπερβαίνει τῇ ἑαυτῆς ἀπειρίᾳ· καὶ οὕτω ταύτην ἀπὸ τοῦ εἰδέναι τί ἐστιν καταλαβεῖν οὐ δυνάμεθα, ἀλλ' ἁμηγέπη ταύτης ἔχομεν γνῶσιν, τί οὐκ ἔστιν εἰδότες, καὶ οὕτω τῇ αὐτῆς γνώσει μᾶλλον ἐγγίζομεν ὅσῳ πλείονα ἀπὸ ταύτης δυνάμεθα ἀφαιρεῖν· τοσούτῳ γάρ τι γινώσκομεν τελεώτερον, ὅσῳ τὰς πρὸς τὰ ἄλλα διαφορὰς αὐτοῦ μᾶλλον οἴδαμεν, ἑκάστου ἴδιον ἔχοντος εἶναι παντὸς ἄλλου διακεκριμένον· ὅθεν ὧν τοὺς ὅρους γινώσκομεν, πρότερον ἔν τινι τάττομεν αὐτὰ γένει, δι' οὗ κοινότερον γινώσκομεν τί ἐστιν· καὶ μετὰ ταῦτα τὰς διαφοράς, αἷς διακρίνομεν, προστίθεμεν· καὶ οὕτω τελειοῦται ἡ περὶ αὐτοῦ πεπληρωμένη γνῶσις. Ἐπειδὴ τοίνυν ἐν τῇ ἐπισκέψει τῆς θείας οὐσίας οὐ δυνατόν τι καθάπερ γένος λαβεῖν, οὐδὲ καταφατικαῖς διαφοραῖς διακρῖναι, ἀποφατικαῖς διαφοραῖς χρησόμεθα, ὧν τάξις ἐστίν, ἢ καὶ ἐν ταῖς καταφατικαῖς, μιᾶς ἑτέρᾳ ἑπομένης, καὶ μᾶλλον προσεγγιζούσης· ὥσπερ ὅταν εἴπωμεν
f. 15 τὸν Θεὸν μὴ εἶναι συμβεβηκός, | τῶν συμβεβηκότων χωρίζομεν μόνον· καὶ ὅταν μὴ εἶναι σῶμα, καὶ ἀπό τινων διακρίνομεν οὐσιῶν· καὶ οὕτως εὐτάκτως πάντων αὐτὸν ταῖς ἀποφάσεσι χωρίζομεν τῶν παρ' αὐτόν· καὶ αὕτη ἐστὶν ἡ προσήκουσα καὶ δυνατὴ ἐπίσκεψις περὶ τῆς οὐσίας αὐτοῦ, ὅταν ἀπὸ πάντων διακεκριμένως γινώσκηται· οὐκ ἔσται μέντοι τελεία ἡ τοιαύτη γνῶσις, ἐπειδὴ τί ἐστιν ἐν ἑαυτῷ οὐ γινώσκεται. Προϊέναι τοίνυν βουλόμενοι ἐπὶ τὴν θείαν γνῶσιν τῇ τῆς ἀφαιρέσεως ὁδῷ, λάβωμεν ἀρχήν, ἐκ τῶν εἰρημένων φανερὰν γενομένην, ὅτι ὁ Θεὸς ἔστι πάντη ἀκίνητος· ὃ καὶ τὰ ῥητὰ τῆς Γραφῆς βεβαιοῖ· ἐν γὰρ τῷ Μαλαχίᾳ· „Ἐγὼ Κύριος καὶ οὐ μεταβάλλομαι“· καὶ ἐν τῇ πρώτῃ Ἰακώβου· „Παρ' ᾧ οὐκ ἔστι παραλλαγή“· καὶ ἐν κη' τῶν Ἀριθμῶν· „Οὐκ ἔστιν ὁ Θεὸς ὡς ἄνθρωπος, ὥστε μεταβληθῆναι“.

## XV. — Ὅτι ὁ Θεὸς ἀΐδιός ἐστιν.

Ἐκ τούτου δὲ φανερὸν περαιτέρω τὸν Θεὸν εἶναι ἀΐδιον· τὸ γὰρ ἀρξάμενον τοῦ εἶναι ἢ παυσόμενον διά τινα κίνησιν ἢ μεταβολὴν τοῦτο πάσχει· τὸν δὲ Θεὸν δέδεικται πάντη ἀμετάβλητον εἶναι. Ἔστιν ἄρα ἀΐδιος, πάσης ἀρχῆς καὶ τέλους ἐπέκεινα.

Ἔτι, ἐκεῖνα τῷ χρόνῳ μετρεῖται, ἃ καὶ κινεῖται· ἀριθμὸς γὰρ κινήσεως ὁ χρόνος· ἀλλ' ὁ Θεὸς οὐ κινεῖται· οὐδ' ἄρα χρόνῳ μετρεῖται, οὔτε τὸ πρότερον ἐν αὐτῷ καὶ ὕστερον, οὔτε τὸ εἶναι μετὰ τὸ μὴ εἶναι, οὔτε τὸ μὴ εἶναι μετὰ τὸ εἶναι, οὐδέ τις ἐν τῷ εἶναι διαδοχή. Ἔστιν ἄρα ἀρχῆς

ΙΩΑΝΝΙΝΑ 2006

καὶ τέλους ἐπέκεινα τὸ εἶναι αὐτοῦ, πᾶν τὸ εἶναι ἔχον ὁμοῦ, ἐν ᾧ ὁ τῆς ἀϊδιότητος ἀφορίζεται λόγος.

Ἔτι, εἴ ποτε μὴ ἦν, καὶ μετὰ ταῦτα γέγονεν, ὑπ' ἄλλου παρήχθη· οὐ γὰρ ὑφ' ἑαυτοῦ, εἴπερ τὸ μὴ ὂν οὐ ποιεῖ. Ἀλλ' ὁ Θεὸς πρώτη ἐδείχθη πάντων αἰτία· ἀπ' οὐδενὸς ἄρα· ὥστε οὐδ' ἤρξατο· οὐκοῦν οὐδὲ παύσεται· τὸ γὰρ ἀεὶ ὂν ἔχει δύναμιν τοῦ ἀεὶ ἔσεσθαι· εἰ δ' ἄμφω ταῦτα, ἀΐδιος.

Ἔτι, ἔστι τι πρῶτον ἐν τοῖς ἀναγκαίοις, εἰ ἀδύνατον ἐπ' ἄπειρον προχωρεῖν· τοῦτο δὲ καθαυτό ἐστιν ἀναγκαῖον· τὸ δὲ καθαυτὸ ἀναγκαῖον, ἀΐδιον. Ὁ Θεὸς ἄρα ἀΐδιος, ὅς ἐστι τὸ καθαυτὸ ἀναγκαῖον.

Ἔτι, ὡς ἐκ τῆς ἀϊδιότητος τοῦ χρόνου ἡ ἀϊδιότης τῆς κινήσεως δείκνυται, οὕτω ἐκ ταύτης ἡ ἀϊδιότης τῆς κινούσης αἰτίας· ὁ δὲ Θεός ἐστιν ἡ πρώτη κινοῦσα αἰτία· ἀΐδιος ἄρα.

Ταύτῃ τῇ ἀληθείᾳ, | καὶ ἡ θεία Γραφὴ μαρτυρεῖ· ἐν γὰρ τοῖς ψαλμοῖς f. 15v
λέγεται· „Σὺ δὲ εἰς τὸν αἰῶνα μένεις". Καὶ αὖθις· „Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν".

## XVI. — Ὅτι ἐν τῷ Θεῷ οὐκ ἔστι παθητικὴ δύναμις.

Ὅτι δὲ ἀνάγκη αὐτὸν μὴ ἐν δυνάμει εἶναι, δῆλον· πᾶν γὰρ τοιοῦτον μὴ εἶναι δύναται, ἐπεὶ ὃ δύναται εἶναι, δύναται καὶ μὴ εἶναι· ὃ δὲ καθαυτὸν οὐ δύναται μὴ εἶναι, ἀΐδιος ὤν· οὐκ ἄρα ἐστὶν αὐτῷ δύναμις τοιαύτη.

Ἔτι, εἰ καὶ ἡ δύναμις προτέρα τῆς ἐνεργείας τῷ χρόνῳ, ἀλλὰ ἁπλῶς ἡ ἐνέργεια τῆς δυνάμεως προτέρα· ὥστε δεῖ εἶναί τι πρότερον τοῦ ἐν δυνάμει τοιαύτῃ ὄντος. Ὁ δὲ Θεὸς ἐστὶ πρῶτον ὂν καὶ πρώτη αἰτία.

Ἔτι, ὁ Θεὸς καθ' ἑαυτὸ ἀναγκαῖον ἐστίν· τὸ δὲ τοιοῦτον οὐχ οἷόν τε δυνατὸν εἶναι· τὸ γὰρ δυνατὸν εἶναι ἄλλην αἰτίαν ἔχει προτέραν.

Ἔτι, ὁ Θεός ἐστι πρῶτον ποιοῦν· τοῦτο δὲ ἐνέργεια καθαρά ἐστιν· οὐκ ἄρα, καὶ τὰ ἑξῆς.

Ἔτι, τὸ ἐν δυνάμει ὂν πέφυκε πάσχειν· ἀλλ' ὁ Θεὸς ἀμετάβλητος πάντῃ καὶ ἀπαθής.

## XVII. — Ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὕλη.

Ἐντεῦθεν δῆλον, ὅτι οὐδὲ ὕλη ἐστὶν ὁ Θεός· ἡ γὰρ ὕλη τοῦθ' ὅπερ ἐστὶν ἐν δυνάμει ἐστίν.

Ἔτι, ἡ ὕλη ποιητικὴ αἰτία οὐ δύναται εἶναι· τὸ γὰρ ποιοῦν καὶ ἡ ὕλη οὐ πίπτουσιν εἰς ταὐτὸν κατὰ τὸν Φιλόσοφον.

Ἔτι, τοῖς εἰς τὴν ὕλην πάντα ἀνάγουσιν ἕπεται τύχῃ τινὶ τὰ φυσικὰ ὑφεστάναι· εἰ δὲ ὁ Θεὸς ὑλικόν ἐστιν αἴτιον, πρῶτον αἴτιον ὄν, αὐτομάτως ὑφέστηκε πάντα.

---

14 Ps. 101, 13, 28

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ἡ ὕλη μεταβαλλομένη ἐνεργείᾳ τινὸς αἰτία γίνεται· ἀλλ' ὁ Θεὸς ἀκίνητός ἐστιν.

Ταύτην τὴν ἀλήθειαν, καὶ ἡ καθολικὴ πίστις βεβαιοῖ, οὐκ ἐκ τῆς οὐσίας, ἀλλ' ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν πάντα ἰσχυριζομένη τὸν Θεόν.

### XVIII. — Ὅτι οὐδὲ σύνθεσις ἐν Θεῷ.

Ἐκ τῶν εἰρημένων δῆλον, ὅτι οὐκ ἔστιν ἐν τῷ Θεῷ σύνθεσις οὐδεμία· ἐν παντὶ γὰρ συνθέτῳ ἀνάγκη εἶναι δύναμιν καὶ ἐνέργειαν.

Ἔτι, πᾶν σύνθετον ὕστερόν ἐστι τῶν συντιθέντων· ὁ δὲ Θεός ἐστι τὸ πρώτως ὄν.

Ἔτι, πᾶν σύνθετόν ἐστι δυνάμει διαλυτόν, καὶ δυνάμει πρὸς τὸ μὴ εἶναι· ὁ δὲ Θεὸς καθ' ἑαυτὸν ἔχει τὴν ἀνάγκην τοῦ εἶναι.

Ἔτι, πᾶν σύνθετον ἔχει αἰτίαν ποιητικὴν τὴν συντεθεῖσαν· ἀλλ' ὁ Θεός ἐστι πρῶτον αἴτιον.

Ἔτι, τὸ τιμιώτερον, καὶ ἁπλούστερον εἶναι δεῖ.

f. 18 Ἔτι, ἐν παντὶ συνθέτῳ πλῆθός ἐστιν, οὗ ἡ μονὰς προτέρα. | Ὁ δὲ Θεὸς τὸ πρὸ πάντων ἐστίν.

Ἔτι, τὸ τῶν συνθέτων ἀγαθὸν ἐν τῷ ὅλῳ ἐστίν, οὐκ ἔν τινι τῶν μερῶν αὐτοῦ, ἤγουν οὐχ ἁπλῶς· ἀλλ' ὁ Θεός ἐστιν τὸ πρῶτον καὶ ἔσχατον ἀγαθόν, καὶ τὸ ἑαυτοῦ ἀγαθὸν αὐτός ἐστιν.

### XIX. — Ὅτι ἐν τῷ Θεῷ οὐδὲν βίαιον οὐδὲ παρὰ φύσιν.

Ἐντεῦθεν, οὐδὲ παρὰ φύσιν καὶ βίαιόν τι εἶναι δύναται ἐν αὐτῷ· πᾶν γὰρ ἐν ᾧ ἔστι τι βίαιον ἢ παρὰ φύσιν ἔχει τι πάντως προσκείμενον· τὸ γὰρ ἐκ τῆς οὐσίας τοῦ πράγματος οὐκ ἔστι βίαιον οὐδὲ παρὰ φύσιν· οὐδὲν δὲ ἁπλοῦν ἐν ἑαυτῷ ἔχει τι προσκείμενον· ὁ δὲ Θεός ἐστιν ἁπλοῦς.

Ἔτι, ἡ τοῦ βιαίου ἀνάγκη ἀπ' ἄλλου ἐστίν, καὶ διὰ κινήσεως γίνεται· ὁ δὲ Θεός ἐστι καθαυτὸ ἀναγκαῖον καὶ ἀκίνητον.

### XX. — Ὅτι ὁ Θεὸς οὐκ ἔστι σῶμα.

Ἐντεῦθεν, οὐδὲ σῶμα δύναται εἶναι· πᾶν γὰρ σῶμα, συνεχὲς ὄν, σύνθετον καὶ μέρη ἔχον ἐστίν· ὁ δὲ Θεὸς οὐκ ἔστι σύνθετος.

Ἔτι, πᾶν σῶμα πηλίκον ἐστί· καὶ πᾶν πηλίκον ἐν δυνάμει ἐστί πως· δυνάμει γὰρ ἐπ' ἄπειρα διαιρετὸν τὸ συνεχές· καὶ ἡ γραμμή, ἐπ' ἄπειρον αὐξητή· ὁ δὲ Θεὸς οὐκ ἔστιν ἐν δυνάμει, ἀλλ' ἐνέργεια καθαρά.

Ἔτι, μαθηματικὸν οὐχ οἷόν τε εἶναι σῶμα· οὐ γάρ ἐστι καθ' ἑαυτὸ ὑφιστάμενον· αἱ γὰρ διαστάσεις, συμβεβηκότων· φυσικὸν δὲ οὐκ ἔστιν·

---

**15 Ici, note de Scholarios:** *ζήτει σημεῖον μετὰ φύλλα β'*, **les pages du ms. ayant été interverties**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἅπαν γὰρ φυσικὸν σῶμα κινεῖται· ὁ δὲ Θεὸς ἀκίνητος καὶ καθ' ἑαυτὸν ὑφεστώς.

Ἔτι, πᾶν σῶμα πεπερασμένον· ὃ καὶ διανοίᾳ καὶ φαντασίᾳ ὑπερβῆναι δυνάμεθα· ἀλλ' ὁ Θεὸς μείζων ἐστὶ τῆς ἡμετέρας διανοίας.

Ἔτι, τοῦ μὲν μὴ ζῶντος σώματος τὸ ζῶν τιμιώτερον, τοῦ δὲ ζῶντος, ἡ ζωὴ αὐτοῦ, ἐπεὶ ταύτῃ ὑπερέχει τῶν ἄλλων σωμάτων· τοῦ δὲ Θεοῦ οὐδέν ἐστι τιμιώτερον· οὐκ ἄρα, καὶ τὰ ἑξῆς· ὥστε οὔτε σῶμά ἐστιν οὔτε δύναμίς τις ἐν σώματι.

Περὶ τῶν πρὸς τοῦτο ἀντιθέσεων.

Ὅτι πέντε ἀντιθέσεις εἰσὶ πρὸς τοῦτο, ἃς διὰ συντομίαν παρίεμεν, καὶ τοὺς ἐλέγχοντας αὐτὰς λόγους τῆς ἀληθείας· ἀλλ' ἀρκεῖ τὴν ἐκ τῆς ἱερᾶς Γραφῆς μαρτυρίαν παραγαγεῖν. Ἐν γὰρ εὐαγγελίῳ λέγεται· „Πνεῦμα Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν". Καὶ ἐν τῇ πρώτῃ πρὸς Τίτον· „Τῷ δὲ βασιλεῖ τῶν αἰώνων καὶ ἀοράτῳ καὶ μόνῳ Θεῷ". Καὶ ἐν τῇ πρὸς Ῥωμαίους· „Τὰ γὰρ ἀόρατα Θεοῦ, τοῖς ποιήμασι νοούμενα, καθορᾶται". | Τὰ γὰρ οὐκ ὄψει ἀλλὰ νῷ καθορώμενα, f. 18v
ἀόρατά εἰσιν. Ἐντεῦθεν ἐλέγχονται καὶ οἱ τὰς πρώτας φυσικὰς αἰτίας θεοποιήσαντες, οἷον πῦρ ἢ ὕδωρ ἢ ἄλλο τι τοιοῦτον, ἐν οἷς τινες ὑπετίθεντο κινούσας αἰτίας, φιλίαν τε καὶ νεῖκος· οὗτοι δὲ πάντες δύναμιν ἐν σώματι καὶ σύνθετον ὑπετίθεντο τὸν Θεόν· καὶ ἄλλοι φανερῶς τὸ οὐράνιον σῶμα· μόνος δὲ Ἀναξαγόρας ἐν τοῖς ἀρχαίοις τῇ ἀληθείᾳ προσήγγικε, νοῦν πάντα κινεῖν ὑποθέμενος· καὶ οἱ ἄλλοι Ἕλληνες οἵ, φανερῶς τούτοις ἀκολουθήσαντες, τὰ στοιχεῖα τοῦ κόσμου καὶ τὰς ἐν αὐτοῖς δυνάμεις ἐθεοποίησαν. Ἐλέγχονται δὲ καὶ ἀνθρωπομορφῖται καὶ μανιχαῖοι, οἳ ἄπειρόν τινα οὐσίαν φωτὸς ἐπ' ἄπειρον διάστημα διεστηκυῖαν θεὸν ὑπελάμβανον, διὰ τὸ ἐν τῷ περὶ τοῦ θείου λογίζεσθαι εἰς φαντασίας κατάγεσθαι, δι' ὧν οὐκ ἔστι ληφθῆναι εἰ μὴ τὰς τοῦ σώματος ὁμοιότητας, καὶ διὰ τοῦτο ταύτας, ἐν ταῖς περὶ τῶν ἀσωμάτων μελέταις ἐᾶν χρή.

## XXI. — Ὅτι ὁ Θεός ἐστιν ἡ οὐσία αὐτοῦ.

Ἐντεῦθεν λαβεῖν δυνατόν, ὅτι ὁ Θεός ἐστιν ἡ οὐσία ἢ ἡ φύσις αὐτοῦ· ἡ γὰρ οὐσία κατὰ τὸν τοῦ μέρους τρόπον χαρακτηρίζεται, ὡς ἡ ἀνθρωπότης ἐν ἀνθρώπῳ· καὶ διὰ τοῦτο, ἔνθα οὐκ ἔστι τὸ πρᾶγμα ἡ αὐτοῦ οὐσία, σύνθεσίς ἐστιν ἐν αὐτῷ· ἀλλ' ἐν τῷ Θεῷ δέδεικται μηδεμίαν εἶναι σύνθεσιν.

Ἔτι, ἐν τῷ Θεῷ οὐδέν ἐστι συμβεβηκός· ὥστε οὐδέ τι παρὰ τὴν οὐσίαν αὐτοῦ· τὰ δὲ συμβεβηκότα αἰτία γίνεται τοῦ ἔν τισιν ἄλλο εἶναι τὴν οὐσίαν αὐτῶν παρ' αὐτὰ διὰ τὸ ταῦτα ἐν τῷ τοῦ ὑποκειμένου λόγῳ πίπτειν, ἐν δὲ τῷ τῆς οὐσίας μὴ πίπτειν.

---

12 Ioh. 4, 24 14 non *Τίτον* mais *Τιμόθεον* = I Tim. 1, 17 15 Rom. 1, 20



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ὃ οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ οὕτως ἔχει πρὸς αὐτήν, ὡς πρός τι τῶν αὐτοῦ, ὡς δύναμις δηλονότι πρὸς ἐνέργειαν· ὅθεν καὶ τῷ τοῦ εἴδους τρόπῳ ἡ οὐσία νοεῖται, οἷον ἡ ἀνθρωπότης· ἀλλ' ἐν τῷ Θεῷ οὐδεμία δύναμις τοιαύτη δέδεικται εἶναι.

## XXII. — Ὅτι ἐν αὐτῷ ταὐτὸν τὸ εἶναι καὶ ἡ οὐσία.

Συναποδείκνυται δέ, ὅτι οὐδὲ παρὰ τὸ εἶναί ἐστιν ἡ οὐσία ἐν τῷ Θεῷ· ἕκαστον γὰρ ἔστι κατὰ τὸ ἑαυτοῦ εἶναι· ὃ ἄρα οὐκ ἔστιν ἑαυτοῦ εἶναι, οὐκ ἔστι καθ' ἑαυτὸ ἐξ ἀνάγκης εἶναι.

Ἔτι, εἰ τὸ εἶναι τοῦ Θεοῦ οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ, οὐδὲ μέρος αὐτῆς δύναται εἶναι διὰ τὸ ἁπλῆν αὐτὴν δεδεῖχθαι· ἔσται ἄρα τι παρὰ τὴν θείαν οὐσίαν, καὶ ἁρμόσει ἑαυτῇ δι' ἄλλην τινὰ αἰτίαν· τοῦτο δὲ ἀδύνατον, τὸ τὴν ἑτέρωθεν τυγχάνουσαν τοῦ εἶναι οὐσίαν, οὐσίαν εἶναι τοῦ Θεοῦ, ὃς
f. 19 ἐδείχθη | πρώτη αἰτία αἰτίαν οὐκ ἔχουσα. Ἀνάγκη τοίνυν τὸ εἶναι καὶ τὴν οὐσίαν τοῦ Θεοῦ ταὐτὸν εἶναι. Ταύτην δὲ τὴν ἀλήθειαν καὶ ὁ Θεὸς ἐδίδαξε τὸν Μωϋσέα· ἐρωτῶντι γάρ· „Ἐὰν εἴπωσι πρός με υἱοὶ Ἰσραήλ, τί ὄνομα αὐτῷ, τί ἐρῶ αὐτοῖς“; ἀπεκρίνατο· „Ἐγώ εἰμι ὁ ὤν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με, πρὸς ὑμᾶς“· δεικνὺς ἴδιον αὐτοῦ ὄνομα εἶναι τὸ ὤν. Ἕκαστον δὲ ὄνομα τεταγμένον ἐστὶ πρὸς τὸ σημαίνειν τὴν φύσιν ἢ τὴν οὐσίαν τοῦ πράγματος· ὅθεν καταλείπεται, ὅτι τὸ θεῖον εἶναί ἐστιν ἡ οὐσία καὶ ἡ φύσις αὐτοῦ. Ταύτην δὲ τὴν ἀλήθειαν, καὶ οἱ καθολικοὶ διδάσκαλοι πάντες ὡμολόγησαν.

## XXIII. — Ὅτι οὐκ ἔστιν ἐν αὐτῷ συμβεβηκός.

Ἐντεῦθεν ἕπεται, ὅτι τῷ Θεῷ οὐδὲν ἐπεισελθεῖν δύναται ἐκτὸς τῆς αὐτοῦ οὐσίας· τὸ μὲν γὰρ εἶναι οὐδενὸς δύναται μετέχειν, ἁπλούστατον καὶ ἰδικώτατον ὄν· ἡ δὲ θεία οὐσία ἐστὶν αὐτὸ τὸ εἶναι· οὐδενὸς ἄρα μετέχει, ὅπερ οὐκ ἔστιν ἐκ τῆς αὐτῆς οὐσίας· ὥστε οὐδέν ἐστιν ἐν αὐτῷ συμβεβηκός.

Ἔτι, πᾶν ὃ ἔνεστι τινὶ κατὰ συμβεβηκὸς ἔχει αἰτίαν τοῦ ἐνεῖναι παρὰ τὴν οὐσίαν ἐκείνου ᾧ ἔνεστιν, δρῶσαν εἰς τὴν δεχομένην τὸ συμβεβηκὸς οὐσίαν· τοῦτο δὲ οὐκ ἂν εἴη ἄνευ ποιήσεως καὶ κινήσεως καὶ συνθέσεως, ἃ τῷ Θεῷ οὐ προσήκει.

Ἔτι, ᾧ ἂν ἔνεστί τι κατὰ συμβεβηκός, ἔστι τρόπον τινὰ τῇ φύσει μεταβλητόν· τὸ συμβεβηκὸς γάρ, καθ' αὑτὸ πέφυκε καὶ εἶναι καὶ μὴ εἶναι· ταύτῃ δὲ τῇ ἀποφάσει καὶ οἱ καθολικοὶ συνίστανται διδάσκαλοι. Ἐντεῦθεν καὶ ἡ τῶν Σαρακηνῶν ἐλέγχεται πλάνη· οἳ τιθέασι λογισμούς τινας τῇ θείᾳ προστιθεμένους οὐσίᾳ.

---

16 Exod. 3, 13, 14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

### XXIV. — Ὅτι οὐκ ἀφορίζεται οὐσιώδεσι διαφοραῖς.

Δυνατὸν δὲ ἐκ τῶν προειρημένων δειχθῆναι καὶ ὅτι τῷ θείῳ εἶναι οὐ δυνατόν τι προσθεῖναι, ὃ ἀφοριεῖ αὐτὸ ἀφορισμῷ οὐσιώδει, ὥσπερ τὸ γένος ἀφορίζεται ταῖς διαφοραῖς· ἀδύνατον γάρ εἶναί τι ἐνεργείᾳ, μὴ πάντων ὄντων οἷς τὸ οὐσιῶδες εἶναι ἀφορίζεται· οὐ δύναται γὰρ τὸ ζῷον εἶναι ἐνεργείᾳ, ἐὰν μὴ ᾖ τὸ ζῷον ἢ λογικὸν ἢ ἄλογον· ὅθεν καὶ οἱ Πλατωνικοὶ οὐκ ἐτίθεσαν ἰδέας τῶν γενῶν, ἃ ἀφορίζονται πρὸς τὸ εἶναι τοῦ γένους διαφοραῖς οὐσιώδεσιν, ἀλλὰ τῶν εἰδῶν μόνων· ἃ πρὸς τὸν ὁρισμὸν αὐτῶν, διαφορῶν οὐσιωδῶν ἥκιστα δέονται· εἰ τοίνυν τὸ θεῖον εἶναι ἄλλῳ τινὶ προστιθεμένῳ | ἀφορίζεται ἀφορισμῷ οὐσιώδει, αὐτὸ τὸ εἶναι οὐκ ἔσται ἐνεργείᾳ, f. 19 v
εἰ μὴ τὸ προστιθέμενον ὑπάρχει· ἐπεὶ δὲ αὐτό ἐστιν ἡ θεία οὐσία, οὐκ ἔσται ἐνεργείᾳ μὴ τινος ἄλλου ἐπεισιόντος, καὶ οὐκ ἔσται οὕτω καθ᾽ αὑτὸ ἀναγκαῖον· οὗ τὸ ἐναντίον προαποδέδεικται.

### XXV. — Ὅτι οὐκ ἔστιν ἔν τινι γένει.

Ἐκ τούτων συμπεραίνεται ἀναγκαίως, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ἔν τινι γένει· πᾶν γὰρ ἐν γένει ὂν ἔχει τι ἐν ἑαυτῷ, δι᾽ οὗ ἡ τοῦ γένους φύσις ἀφορίζεται πρὸς τὸν ὁρισμὸν τοῦ εἴδους· οὐδὲν γάρ ἐστιν ἐν γένει, ὃ οὐκ ἔστιν ἔν τινι αὐτοῦ εἴδει· τοῦτο δὲ ἀδύνατον ἐδείχθη ἐπὶ Θεοῦ.

Ἔτι, ἐν γένει συμβεβηκότος μέν, ἀδύνατον· τὸ γὰρ συμβεβηκὸς οὐ δύναται εἶναι πρῶτον ὂν καὶ πρώτη αἰτία· ἐν γένει δὲ οὐσίας οὐχ οἷόν τε· ὁ μὲν γὰρ Θεός ἐστι τὸ εἶναι αὐτοῦ· ἡ δὲ οὐσία τὸ γένος οὐκ ἔστι τὸ εἶναι αὐτό· ἦν γὰρ ἂν πᾶσα οὐσία τοιαύτη ὁμοία τῷ γένει, καὶ οὐδεμία ἦν ἀπ᾽ ἄλλης αἰτίας· ὅπερ ψεῦδος καὶ ἀδύνατον· ὅθεν φανερόν, ὅτι οὐδὲ ὁρισθῆναι δύναται, ἐπεὶ πᾶς ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν· οὐδὲ ἀπόδειξις αὐτοῦ ἐστιν εἰ μὴ ἐκ τῶν ὑστέρων καὶ αἰτιατῶν· ἀρχὴ γὰρ ἀποδείξεως ὁρισμός.

### XXVI. — Ὅτι ὁ Θεὸς οὐκ ἔστι τὸ εἰδικὸν εἶναι πάντων.

Ἐκ τούτων ἐλέγχεται καὶ ἡ αἵρεσις τῶν λεγόντων τὸν Θεὸν μηδὲν ἄλλο εἶναι ἢ τὸ εἰδικὸν εἶναι ἑκάστου πράγματος· τοῦτο γὰρ τὸ εἶναι διαιρεῖται τῷ τῆς οὐσίας εἶναι καὶ τῷ τοῦ συμβεβηκότος, ὧν οὐδέτερον τὸ θεῖον εἶναι ἐστίν.

Ἔτι, τὸ κοινὸν πολλοῖς οὐκ ἔστιν ἄλλο παρὰ τὰ πολλά, εἰ μὴ μόνῳ τῷ λόγῳ· ὥσπερ τὸ ζῷον οὐκ ἔστιν ἄλλο παρὰ τὸν Σωκράτην καὶ Πλάτωνα, εἰ μὴ τῇ διανοίᾳ, ἣ περιλαμβάνει τὸ εἶδος τοῦ ζῴου, ἀπογυμνοῖ δὲ ταῦτα τῶν ἄτομα ποιούντων καὶ εἰδοποιούντων· εἰ τοίνυν ὁ Θεός ἐστιν τὸ κοινὸν εἶναι, οὐκ ἔστιν ὁ Θεὸς ἄλλο τι εἰ μὴ τῇ διανοίᾳ μόνον· ὅπερ ψεῦδος· ἔστι γὰρ ἐν τῇ τοῦ πράγματος φύσει.

---

36 *ἐστιν* en interligne, à la place de *ἦν* d'abord écrit



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ἕψεται τὸ εἶναι ἑκάστου ἐξ ἀϊδίου εἶναι· οὐκ ἄρα ἔσται γένεσις καὶ φθορά.

Ταύτην τὴν πλάνην καὶ ἡ θεία ἐλαύνει Γραφή, ὁμολογοῦσα τὸν „Θεὸν ὑψηλὸν εἶναι καὶ ἐπηρμένον", ὡς ἐν τῷ Ἡσαΐᾳ· καὶ „ὑπὲρ πάντα εἶναι αὐτόν", ὡς ἐν τῇ πρὸς Ῥωμαίους· εἰ γὰρ ἔσται τὸ εἶναι πάντων, ἔσται τι τῶν πάντων· καὶ οὐχ ὑπὲρ τὰ πάντα. Τοῖς αὐτοῖς δὲ περιπίπτουσιν οἱ οὕτω φρονοῦντες οἷς καὶ εἰδωλολάτραι, οἳ τὸ „ἀσύγκριτον ὄνομα τοῦ Θεοῦ ξύλοις καὶ λίθοις ἐπέθηκαν"· εἰ γὰρ ὁ Θεὸς τὸ εἶναι πάντων ἐστίν, f. 20 | οὐ μᾶλλον λεχθήσεται τὸν λίθον ὂν εἶναι ἢ τὸν λίθον Θεόν.

Ταύτῃ δὲ τῇ πλάνῃ τέσσαρα δοκεῖ βοήθειαν χορηγῆσαι· τὸ λεγόμενον ὑπὸ τοῦ Διονυσίου, „ὅτι τὸ εἶναι πάντων ἐστὶν ἡ ὑπερούσιος θεότης"· ἀλλ' ὑπερούσιον θεότητα λέγων, δείκνυσιν ὑπερανῳκισμένον καὶ διακεκριμένον ἁπάντων τὸν Θεόν· τὸ δὲ εἶναι πάντων αὐτὸν εἶναι νοεῖ, ὅτι τῷ εἶναι αὐτὸν τὰ ἄλλα εἰσίν, καὶ ὅτι ἀπ' αὐτοῦ ὁμοιότης τις αὐτοῦ ἐν πᾶσιν εὑρίσκεται. Δεύτερον, ἡ τοῦ λόγου ἔνδεια ἐκίνησεν αὐτούς. Ἐπεὶ γὰρ ὃ κοινόν ἐστι τῇ προσθήκῃ εἰδοποιεῖται καὶ ἄτομον γίνεται, ὑπέλαβον τὸ θεῖον εἶναι, ᾧ οὐδεμία προσθήκη γίνεται, μὴ εἶναι ἴδιόν τι, ἀλλὰ κοινὸν πάντων, οὐ δυνάμενοι συνιδεῖν, ὅτι τὸ κοινὸν ἢ καθόλου ἄνευ μὲν προσθήκης οὐ δύναται εἶναι· ἄνευ δὲ προσθήκης νοεῖται· τὸ γὰρ ζῷον οὐ δύναται εἶναι χωρὶς τῆς τοῦ λογικοῦ ἢ ἀλόγου διαφορᾶς, εἰ καὶ χωρὶς τῶν διαφορῶν τούτων νοεῖται· εἰ δὲ καὶ τὸ καθόλου ἄνευ προσθήκης νοεῖται, ὅμως οὐκ ἄνευ τοῦ προσθήκην δύνασθαι δέξασθαι νοηθήσεται· καὶ γὰρ εἰ τῷ ζῴῳ μηδεμία διαφορὰ προστεθεῖναι ἠδύνατο, γένος οὐκ ἂν ἦν· τὸ δὲ θεῖον εἶναι χωρὶς προσθήκης ἐστὶ καὶ ἐν τῇ ὑπάρξει, καὶ ἐν τῇ διανοίᾳ, καὶ χωρὶς τοῦ προσθήκην δύνασθαι δέξασθαι· ὅθεν ἐξ αὐτοῦ τούτου τοῦ μὴ δύνασθαι προσθήκην δέχεσθαι, συνάγεται μὴ εἶναι τὸ κοινὸν εἶναι, ἀλλ' ἴδιον· καὶ ὅτι τὸ εἶναι αὐτοῦ διακέκριται πάντων, τῷ μόνῳ αὐτῷ μηδὲν προσκεῖσθαι δύναται. Τρίτον ἠπάτηνται ἐκ τῆς θείας ἁπλότητος, νοήσαντες ὅπερ ἐν τῷ ἐσχάτῳ πάσης ἀναλύσεως εὑρίσκεται τῶν ἐν ἡμῖν γινομένων τὸν Θεὸν εἶναι, ὡς τοῦτο ὂν τὸ ἁπλούστατον· ἀλλ' οὐκ ἐνόησαν, ὅτι τὸ ἐν ἡμῖν ἁπλούστατον εὑρισκόμενον οὐ πεπληρωμένον ἐστίν, ὡς πράγματός τι ὑπάρχειν· τῷ δὲ Θεῷ τὴν ἁπλότητα ἀπονέμομεν ὥσπερ τινὶ πράγματι τελείως ὑφεστῶτι. Τέταρτον ἠπάτηνται ἐκ τοῦ τὸν Θεὸν λέγεσθαι ἐν πᾶσιν εἶναι· οὐ νοοῦμεν δὲ ὅτι οὕτως ἐστὶν ἐν πᾶσιν ὥσπερ τι τοῦ πράγματος ἐν ἑκάστῳ, ἀλλ' ὡς αἰτία τοῦ πράγματος, ἥτις οὐδέποτε τοῦ ἰδίου ἀποτελέσματος ἀποστρατεῖ. Οὐχ ὁμοίως γὰρ φαμὲν τὸ εἶδος ἐν τῷ σώματι εἶναι ὡς τὸν κυβερνήτην ἐν τῇ νηΐ.

---

4 Is. 6, 1 Rom. 9, 5 7 Sap. 14, 21

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXVII. — Ὅτι ὁ Θεὸς οὐκ ἔστιν εἶδος τινὸς σώματος.

Δεδειγμένου τοῦ μὴ εἶναι τὸν Θεὸν τὸ εἶναι πάντων, δείκνυσθαι δύναται, ὅτι οὐδέ ἐστι τινὸς πράγματος εἶδος ὁ Θεός, ὅτι πᾶσα οὐσία, παρὰ τὴν θείαν, οὐκ ἔστιν αὐτὸ τὸ εἶναι· ἀλλὰ τὸ εἶναι | τὸν Θεὸν οὐκ ἔστιν ἄλλο f. 20v παρὰ τὸν Θεόν· οὐκ ἄρα δύναται εἶδος εἶναι οὐσίας τινός.

Ἔτι, τὸ εἶδος τοῦ πράγματος οὐκ ἔστιν αὐτὸ τὸ εἶναι, ἀλλ' ἀρχὴ τοῦ εἶναι· ὁ δὲ Θεός ἐστιν αὐτὸ τὸ εἶναι.

Ἔτι, ἐκ τῆς ἑνώσεως τοῦ εἴδους καὶ τῆς ὕλης ἀνακύπτει τὸ σύνθετον καὶ τὸ ὅλον· ἀλλὰ τὰ μέρη πρὸς τὸ ὅλον ἐν δυνάμει εἰσίν· ἐν δὲ τῷ Θεῷ οὐδαμῶς ἐστὶ τὸ δυνάμει.

Ἔτι, τὸ εἶδος ἐν ἑτέρῳ ὄν, οἷον τῷ σώματι τὸ τοῦ σώματος εἶδος, ἀτιμότερόν ἐστι τοῦ καθ' ἑαυτὸ ἔχοντος τὸ εἶναι· ἀλλ' ὁ Θεὸς τὸ τιμιώτατον ἐστίν, ὡς πρώτη πάντων αἰτία.

Ταύτῃ τῇ ἀληθείᾳ καὶ ἡ θεία Γραφὴ συμφωνεῖ· λέγεται γὰρ ἐν ψαλμοῖς· „Ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν“· καὶ ἐν τῷ Ἰώβ· „Ὑψηλότερός ἐστι, καὶ τί ποιήσεις; μακρότερον τῆς γῆς τὸ μέτρον αὐτοῦ, καὶ πλατύτερον τῆς θαλάττης.“ Ἐντεῦθεν καὶ ἡ ἑλληνικὴ καταργεῖται πλάνη· οἳ τὸν Θεὸν ἔλεγον εἶναι ψυχὴν τοῦ οὐρανοῦ, ἢ ψυχὴν τοῦ παντὸς κόσμου, ἐκ τούτου προασπίζοντες τῆς εἰδωλολατρείας τῷ λέγειν ὅλον τὸν κόσμον εἶναι Θεὸν οὐ τῷ λόγῳ τοῦ σώματος, ἀλλὰ τῷ λόγῳ τῆς ψυχῆς· οὗτινος ὑποτεθέντος, ἕπεσθαι ὑπελάμβανον τῷ κόσμῳ καὶ τοῖς μέρεσιν αὐτοῦ τὴν θείαν λατρείαν ἀποδίδοσθαι δεῖν.

## XXVIII. — Ὅτι τέλειος ἐστίν.

Ὅτι ὁ Θεὸς καθόλου τέλειός ἐστιν, ὅτι οὐδὲν εἶδος τιμιότητος ἄπεστιν αὐτοῦ. Εἰ γάρ ἐστιν αὐτὸς τὸ εἶναι αὐτοῦ, ἔχει τὸ εἶναι κατὰ πᾶσαν τὴν τοῦ εἶναι δύναμιν, ὡς μηδεμίαν ἀξίαν ἢ τελειότητα, ἀπεῖναι αὐτοῦ· καὶ διὰ τοῦτο πόρρω πάσης ἐνδείας καὶ κοινωνίας πρὸς τὸ μὴ εἶναι ἔστιν αὐτῷ τὸ εἶναι, καὶ αὐτός, εἴπερ ἐστὶ τὸ εἶναι αὐτοῦ, ὡς προείρηται· τὰ δὲ ἄλλα οὐκ ἔχοντα τὸ εἶναι καθ' ὅλην αὐτοῦ τὴν δύναμιν, ἀτελῆ εἰσίν.

Ἔτι, πᾶν ἀτελὲς ἔκ τινος τελείου τὴν πρόοδον ἔχει· καὶ γὰρ τὸ σπέρμα ἐκ τοῦ ζῴου ἐστὶν ἢ τοῦ φυτοῦ· ἀνάγκη οὖν τὸ πρῶτον ὂν τελειότατον εἶναι· ὁ δὲ Θεός ἐστι τὸ πρῶτον ὄν.

Ἔτι, ὁ Θεὸς κατ' οὐδένα τρόπον ἐστὶν ἐν δυνάμει, ἀλλ' ἐν ἐνεργείᾳ μόνον ἐστὶν εἰλικρινής· τελειότατος ἄρα. Ἐντεῦθέν ἐστιν ὃ κεχρημάτισται Μωσῆς ὑπὸ τοῦ Θεοῦ, ζητῶν εἰδεῖν τὸ πρόσωπον τοῦ Θεοῦ ἢ τὴν δόξαν· „Ἐγὼ δείξω σοι πᾶν ἀγαθόν“, ὡς ἐν τῇ Ἐξόδῳ λέγεται, ὡς ἐν αὐτῷ τοῦ τῆς ἀγαθότητος πληρώματος ὄντος. Καὶ Διονύσιος ἐν τῷ περὶ θείων

---

15 Ps. 8, 2    16 Iob, 11, 8, 9    37 Exod. 33, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὀνομάτων· „Ὁ Θεός, φησίν, οὐ τινὶ τρόπῳ ἐστὶν ὑφεστώς, ἀλλ' ἁπλῶς καὶ ἀπεριγράφως ὅλον τὸ εἶναι ἐν ἑαυτῷ εἴληφε καὶ προείληφεν". Εἰ δὲ f. 21 καὶ κυρίως ἐπὶ τῶν γενητῶν τὸ τέλειον λέγεται, | οἱονεὶ γεγενημένον παντελῶς, καὶ μηδὲν ἔτι τοῦ δυνάμει ἢ τοῦ μὴ εἶναι κατέχον ἀλλὰ πεπληρωμένον ἔχον τὸ εἶναι, ὅμως κατά τινα τοῦ ὀνόματος ἐξάπλωσιν, καὶ ἐπὶ τοῦ ἀγεννήτου Θεοῦ λέγεται· ὡς ἐνέργεια τετελεσμένη χωρὶς πάσης γενέσεως. Οὕτως ἐν τῷ Ματθαίῳ λέγεται· „Γίνεσθε τέλειοι, ὥσπερ καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν".

## XXIX. — Περὶ τῆς ὁμοιότητος τοῦ Θεοῦ πρὸς τὰ κτίσματα.

Ἐκ τούτου δὲ δύναται νοεῖσθαι καὶ πῶς ἐν τοῖς πράγμασι δυνατὸν ἢ μὴ δυνατὸν εὑρίσκειν πρὸς τὸν Θεὸν ὁμοιότητα. Τὰ γὰρ ἀποτελέσματα οὐ κοινωνοῦσι ταῖς αἰτίαις οὔτε κατὰ τοὔνομα οὔτε κατὰ τὸν λόγον, ἀποδέοντα αὐτῶν· ὅμως, ὅμοιά πῃ εἰσιν αὐταῖς, τοῦ ποιοῦντος ὅμοιον ἑαυτῷ ποιοῦντος ἀεὶ τῷ ποιεῖν ἕκαστον, ᾗ ἐνεργείᾳ ἐστίν· διὸ τὸ εἶδος τοῦ ἀποτελέσματος ἐξῃρημένως ἐν τῇ αἰτίᾳ εὑρίσκεται καὶ καθ' ἕτερον τρόπον καὶ ἑτέραν αἰτίαν, διὸ καὶ ὁμονύμως ποιεῖν λέγεται· ὥσπερ ἡ ἐν τοῖς ὑπὸ τοῦ ἡλίου θερμαινομένοις θέρμη ὁμοία πῃ τῇ ἐνεργητικῇ τοῦ ἡλίου θέρμῃ ἐστίν, ᾗς τῷ λόγῳ θερμὸς ὁ ἥλιος λέγεται, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν λόγον· καὶ ὅμοιος οὖν ἐστι διὰ τοῦτο τοῖς θερμαινομένοις ὑπ' αὐτοῦ ὡς αὐτὸς ἐνιεὶς δραστικῶς τὸ ἀποτέλεσμα αὐτοῦ, καὶ ἀνόμοιος ὡς οὐ κατὰ τὸν αὐτὸν τρόπον κεκτημένων τὴν θέρμην ὅνπερ αὐτός· οὕτω καὶ ὁ Θεός, πᾶσι τοῖς οὖσι τὰς τελειότητας ἀπονέμων, καὶ ὅμοιός ἐστι καὶ ἀνόμοιος· διὸ καὶ ἔνθα μὲν τῆς Γραφῆς, λέγεται· „Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν", ἐν τῇ Γενέσει δηλονότι· ἐν δὲ τῷ Ἡσαΐᾳ λέγεται· „Τίνι ὅμοιον πεποιήκατε τὸν Θεόν, ἢ τίνα εἰκόνα πεποιήκατε αὐτοῦ"; καὶ ἐν τοῖς ψαλμοῖς· „Ὁ Θεός, τίς ὅμοιός σοι"; Ἀλλὰ κατὰ τὴν εἰρημένην ὁμοιότητα μᾶλλον δεῖ λέγεσθαι τὰ ὄντα ὅμοια τῷ Θεῷ ἢ τὸν Θεὸν αὐτοῖς ὅμοιον· ἡ γὰρ κτίσις ἔχει τι τοῦ Θεοῦ, ὅτι τὸ ἐν αὐτῷ τελείως ὄν, ἐν αὐτῇ κατά τινα εὑρίσκεται ἀποδέουσαν μετοχήν· ὁ δὲ Θεὸς οὐκ ἔχει τι τῆς κτίσεως οὕτως· οὕτω γὰρ οὐδὲ τὸν ἄνθρωπον ὅμοιον τῇ εἰκόνι αὐτοῦ λέγομεν, ᾧ ἡ εἰκὼν ὁμοία λέγεται· πολλῷ δὲ μᾶλλον ἐπὶ τοῦ Θεοῦ καὶ τῶν ὄντων τοῦτ' ἔστιν, ὅτι ἡ μὲν κτίσις ἐκ τοῦ Θεοῦ λαμβάνει τὴν ὁμοιότητα, οὐ μέντοι καὶ τὸ ἀνάπαλιν.

## XXX. — Τίνα τῶν ὀνομάτων κατηγορεῖσθαι δύνανται τοῦ Θεοῦ.

Ἐπεὶ δὲ πᾶσαν τελειότητα τῆς κτίσεως ἔστιν εὑρεῖν ἐν τῷ Θεῷ f. 21 v καθ' ἕτερον ὑψηλότερον | τρόπον, ὅσα τῶν ὀνομάτων τελειότητά τινα ἀπο-

1 *De div. nominibus*, c. 5   7 Matth. 5, 48   24 Gen. 1, 26   26 Is. 40, 18

Ε.Υ.Δ της Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

λελυμένως χωρίς τινος ἐνδείας σημαίνει ὁμοῦ τε τοῦ Θεοῦ καὶ τῶν ἄλλων κατηγορεῖται πραγμάτων· οἷον, ἀγαθότης, σοφία, τὸ εἶναι καὶ τὰ τοιαῦτα· τὰ δὲ τοιαύτην τελειότητα σημαίνοντα κατὰ τὸν ἴδιον τῶν κτισμάτων τρόπον κατὰ τοῦ Θεοῦ λεχθῆναι οὐ δύνανται, εἰ μὴ κατά τινα ὁμοιότητα καὶ μεταφοράν· ὥσπερ τὸν ἄνθρωπον μεταφορικῶς λέγομεν λίθον κατὰ τὴν τῆς διανοίας σκληρότητα· ὁμοίως καὶ τὰ ὀνόματα, ἃ σημαίνουσι τὰς ἰδιότητας τῶν πραγμάτων, ὧν αἴτιαι ἀΐδιαι τῶν εἰδῶν ἀρχαί, οὐ λέγονται κατὰ τοῦ Θεοῦ εἰ μὴ μεταφορικῶς· τὰ δὲ τοιαύτας ἐμφαίνοντα τελειότητας κατὰ τρόπον ὑπεροχῆς ἁρμοζούσης τῷ Θεῷ κατὰ μόνου τοῦ Θεοῦ λέγονται, ὡς τὸ ἔσχατον ἀγαθὸν καὶ τὸ πρῶτον ὄν.

Πᾶν δὲ ὄνομα, ὅσον πρὸς τὸν τοῦ σημαίνειν τρόπον, ἀνάρμοστόν ἐστι τῷ Θεῷ. Καὶ γάρ, ἡ μὲν ἀγαθότης ὡς οὐχ ὑφεστὼς σημαίνει· τὸ δὲ ἀγαθὸν ὡς σύνθετον· ὧν οὐδὲν τῷ Θεῷ προσήκει· ὥστε κατὰ μόνην τὴν σημασίαν καταφάσκεσθαι αὐτοῦ δύνανται, οὐ κατὰ τὸν τρόπον τῆς σημασίας. Ὁ δὲ τρόπος τῆς ὑπεροχῆς, καθ᾽ ὃν ἐν τῷ Θεῷ αἱ εἰρημέναι τελειότητες εὑρίσκονται, οὐ δύναται σημαίνεσθαι τοῖς ἡμετέροις ὀνόμασιν εἰ μὴ ἢ κατὰ ἀπόφασιν, ὡς ὅταν λέγωμεν τὸν Θεὸν αἰώνιον ἢ ἄπειρον, ἢ κατὰ ἀναφορὰν αὐτοῦ πρὸς τὰ ἄλλα, ὡς ὅταν λέγωμεν πρώτην ἀρχὴν ἢ ἔσχατον ἀγαθόν· περὶ γὰρ αὐτοῦ οὐ δυνάμεθα δόξασθαι τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι, καὶ πῶς τὰ ἄλλα ἔχουσι πρὸς αὐτόν.

## XXXI. — Ὅτι τὸ πλῆθος τῶν θείων ὀνομάτων οὐ μάχεται τῇ θείᾳ ἁπλότητι.

Ὅτι δὲ τὸ πλῆθος τῶν περὶ Θεοῦ λεγομένων οὐκ ἐναντιοῦται τῇ θείᾳ ἁπλότητι, δῆλον· αἱ γὰρ τελειότητες, αἳ τοῖς ἄλλοις πράγμασι κατὰ διάφορα εἴδη ἁρμόζουσι, τῷ Θεῷ κατὰ μίαν ἀποδίδονται δύναμιν, ἣ οὐκ ἔστιν ἕτερον παρὰ τὴν αὐτοῦ οὐσίαν. Λέγεται τοίνυν σοφὸς ὁ Θεὸς οὐ μόνον καθὸ σοφίαν ποιεῖ, ἀλλ᾽ ὅτι καὶ τῇ αὐτοῦ δυνάμει, ᾗ σοφοὺς ἡμᾶς ποιεῖ, καθόσον σοφοί ἐσμεν, ὁμοιούμεθά πῃ· ὡσαύτως δὲ καὶ τὰ ἄλλα λέγεται· οὐ λέγεται δὲ λίθος, εἰ καὶ λίθους ποιεῖ, διὰ τὸ ἐν τῷ τοῦ λίθου ὀνόματι νοεῖσθαί τινα τρόπον τοῦ εἶναι ἀφορισμένως, καθ᾽ ὃν ὁ λίθος τοῦ Θεοῦ διακρίνεται, εἰ καὶ ὁμοιοῦται τῷ Θεῷ καὶ ὁ λίθος ὡς αἰτίᾳ κατὰ τὸ εἶναι καὶ τὴν ἀγαθότητα, ὡς καὶ τὰ λοιπὰ κτίσματα. Καὶ οὐδὲν θαυμαστὸν εἰ τῇ θείᾳ ἁπλότητι τῶν ὀνομάτων τὸ πλῆθος οὐ διαμάχεται· ὁ γὰρ νοῦς ἑνιαίᾳ δυνάμει γινώσκει πάντα, ἃ καὶ τὸ αἰσθητικὸν μέρος | διαφόροις f. 22
καταλαμβάνει δυνάμεσιν· καὶ ὅσῳ ἂν ᾖ ὑψηλότερος, τοσούτῳ ἑνί τινι γινώσκειν δύναται πλείω τῶν νοητῶν, ἃ πρὸς τὸ γινώσκειν οὐκ ἐφικνεῖται ὁ χθαμαλώτερος, εἰ μὴ διὰ πολλῶν· καὶ ἡ βασιλικὴ δύναμις πρὸς ἐκεῖνα ἐκτείνεται, πρὸς ἃ αἱ ὑπ᾽ αὐτὴν διάφοροι δυνάμεις ἔχουσι τάξιν. Οὕτω τοίνυν καὶ ὁ Θεός, καθ᾽ ἓν ἁπλοῦν τὸ ἑαυτοῦ εἶναι, τὴν παντοδαπὴν τελειότητα

κέκτηται, ἧς τὰ ἕτερα τῶν πραγμάτων, διαφόρως τε ἕκαστα καὶ ἀμυδρῶς μετέχουσιν· ὅθεν καὶ ἀναγκαζόμεθα πλεοναχῶς αὐτὸν ὀνομάζειν, διότι αὐτὸν φυσικῶς γινώσκειν οὐ δυνάμεθα, ἀλλὰ διὰ τῶν ἀποτελεσμάτων, ἐν οἷς αἱ τελειότητες διάφοροι εὑρίσκονται· εἰ δ' αὐτὴν τὴν θείαν οὐσίαν καθὼς ἐστιν ᾔδειμεν, ἑνὶ μόνον ὀνόματι ταύτην ἂν ἐξεφαίνομεν· ὃ δὴ ὑπεσχημένον ἐστὶ τοῖς κατ' οὐσίαν αὐτὸν ὀψομένοις, ὡς ἐν τῷ Ζαχαρίᾳ λέγεται· „Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν".

## XXXII. — Ὅτι οὐδὲν αὐτοῦ καὶ τῶν ὄντων συνωνύμως κατηγορεῖται.

Ἐκ τούτων δὲ φανερόν, ὅτι οὐδὲν τοῦ Θεοῦ καὶ τῶν ἄλλων συνωνύμως κατηγορεῖται. Τὸ γὰρ ἀποτέλεσμα, ὃ μὴ δέχεται εἶδος ὅμοιον τῷ εἴδει ᾧ τὸ ποιοῦν ποιεῖ, τὸ ἀπὸ τοῦ εἴδους ἐκείνου λαμβανόμενον ὄνομα κατὰ συνώνυμον κατηγορίαν λαβεῖν οὐ δύναται. Οὐ γὰρ συνωνύμως λέγεται θερμὸν τὸ πῦρ τὸ ὑπὸ τοῦ ἡλίου γινόμενον καὶ ὁ ἥλιος· τὰ δὲ πράγματα οὔτε τὸ αὐτὸ εἶδος λαμβάνει ὅπερ ἐστὶν ἐν τῷ Θεῷ, οὔτε κατὰ τὸν αὐτὸν τοῦ εἶναι τρόπον.

Ἔτι, πᾶν τὸ κατὰ πλειόνων συνωνύμως κατηγορούμενον ἢ γένος ἐστίν, ἢ εἶδος ἢ διαφορά, ἢ συμβεβηκός, ἢ ἴδιον· κατὰ δὲ τοῦ Θεοῦ, οὐδὲν ὡς τοιοῦτόν τι κατηγορεῖται· ἐν γένει γὰρ οὐκ ἔστιν, οὔτε διαφορὰς ἔχει, ὡς εἴρηται· οὔτε ὅρον ἢ εἶδος ἔχει, τὸ ἐκ γένους καὶ διαφορᾶς συγκείμενον· οὔτε τι αὐτῷ συμβῆναι δύναται, ἀλλὰ μὴν καὶ τὸ ἴδιον τοῦ γένους τῶν συμβεβηκότων ἐστίν.

Ἔτι, ὃ τινῶν κατηγορεῖται κατὰ τὸ πρότερον καὶ ὕστερον οὐ δύναται κατηγορεῖσθαι συνωνύμως· τὸ γὰρ πρότερον ἐν τῷ ὁρισμῷ τοῦ ὑστέρου περιέχεται· ὡς ἡ οὐσία ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος, καθὸ ἐστιν ὄν· οὐδὲν δὲ τοῦ Θεοῦ κατὰ τὴν αὐτὴν τάξιν καὶ τῶν κτισμάτων κατηγορεῖται, ἀλλὰ κατὰ τὸ πρότερον καὶ ὕστερον· τοῦ μὲν γὰρ Θεοῦ, οὐσιωδῶς, τῶν δὲ ἄλλων, κατὰ μετοχήν.

## XXXIII. — Ὅτι οὐδὲ ὁμωνύμως.

f. 22v Ἐκ τῶν εἰρημένων φανερόν, ὅτι οὐδὲ ὁμωνύμως εἰλικρινῶς κατηγορεῖταί τι τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, ὡς τὰ ἀπὸ τύχης ὁμώνυμα· ἐν μὲν γὰρ τοῖς τοιούτοις ὀνόμασιν οὐδεμία τάξις εὑρίσκεται τῶν αὐτοῖς ὀνομαζομένων πραγμάτων, ἀλλὰ κατὰ συμβεβηκὸς ἓν ὄνομα διαφόροις ἀποδίδοται· ἀλλ' ἐν τῇ κοινότητι τῶν ἐπὶ Θεοῦ καὶ τῶν ὄντων λεγομένων ὀνομάτων τάξις εὑρίσκεται καὶ νοεῖται τῆς αἰτίας καὶ τοῦ αἰτιατοῦ.

Ἔτι, ἐν τοῖς ὁμωνύμως λεγομένοις οὐδεμία ὁμοιότης εὑρίσκεται, ἀλλὰ

7 Zach. 19, 9

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μόνον ἑνότης ὀνόματος· τῶν δὲ ὄντων πρὸς τὸν Θεὸν ἔστι τις ὁμοιότητος τρόπος.

Ἔτι, τῶν κυρίως ὁμωνύμων θάτερον οὐ δύναται εἰς τὴν τοῦ ἑτέρου γνῶσιν ἐνάγειν· ἐκ δὲ τῶν πραγμάτων πρὸς τὴν τῶν θείων ἀφικνούμεθα γνῶσιν.

Ἔτι, οὐδὲν ἂν ἐπιχείρημα ἐγίνετο, ἢ μάτην ἐγίνετο περὶ Θεοῦ καὶ τῶν θείων ἀπὸ τῶν ἡμῖν ἐγνωσμένων.

Εἰ δὲ λέγοι τις, ὅτι τοῖς τοιούτοις ὀνόμασιν μόνον τὸ τί οὐκ ἔστι γινώσκομεν περὶ τοῦ Θεοῦ, ἤγουν τῷ ζῶν ὀνόματι δηλοῦμεν μόνον, ὅτι οὐκ ἔστι τῶν ἀψύχων· ἀλλὰ καὶ οὕτω τὸ ζῶν ἀνάγκη τοὐλάχιστον συνέρχεσθαι ἐν τῇ τοῦ ἀψύχου ἀποφάσει περὶ Θεοῦ καὶ τῶν κτισμάτων λεγόμενον· καὶ οὕτως οὐκ ἔστι καθαρῶς ὁμώνυμον· οὐδὲν γὰρ τῶν ὁμωνύμων εἰλικρινῶς οὐδὲ τοιαύτην κοινωνίαν ἔχει.

## XXXIV. — Ὅτι ἀναλογικῶς λέγονται.

Οὕτω τοίνυν δῆλον ἀναλογικῶς πάντα περὶ τοῦ Θεοῦ καὶ τῶν κτισμάτων λέγεσθαι, ὃ μεταξὺ τῆς ὁμωνύμου καὶ συνωνύμου κατηγορίας, καὶ ἔστι κατὰ τάξιν ἢ συστοιχίαν πρὸς ἕν τι· ἢ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον, ὡς ἡ οὐσία καὶ τὸ συμβεβηκὸς ἀναλογικά εἰσιν, ἢ ἀμφοτέρων ἢ πλειόνων πρὸς ἄλλο τι· ὡς πρὸς τὴν ὑγίειαν τὰ ὑγιεινὰ λεγόμενα, ἤγουν τό τε ὑποκείμενον τῆς ὑγιείας τὸ ζῷον, καὶ τὸ ποιητικὸν ἡ ἰατρική, καὶ τὸ φυλακτικὸν τὸ σιτίον, καὶ τὸ δηλωτικὸν τὸ οὖρον. Τοῦ Θεοῦ δὴ καὶ τῶν κτισμάτων τὰ κατηγορούμενα ἀναλογικῶς λέγονται τῷ προτέρῳ τρόπῳ, ἵνα μὴ ἄλλο τι τιθοῖτο πρότερον τοῦ Θεοῦ· ἀλλ' οὐ τῷ δευτέρῳ, ὃς διπλοῦς ἐστι· ποτὲ μὲν γὰρ τὸ αὐτό ἐστι πρότερον καὶ τῇ φύσει τοῦ πράγματος καὶ τῇ γνώσει τῶν ὀνομάτων, ὡς ἡ οὐσία τοῦ συμβεβηκότος προτέρα καὶ φύσει ὡς αἰτία αὐτοῦ, καὶ γνώσει, ὅτι δι' αὐτῆς ὁρίζεται αὐτό· ποτὲ δὲ τὸ τῇ φύσει πρότερον, ὕστερόν ἐστι τῇ γνώσει. Οὕτως οὖν, ἐπεὶ ἀπὸ τῶν ἄλλων εἰς τὴν θείαν γνῶσιν ἐρχόμεθα, τὸ πρᾶγμα τῶν ὀνομάτων πρότερόν ἐστιν ἐν τῷ Θεῷ κατὰ τὸν αὐτοῦ τρόπον· ὁ δὲ τοῦ ὀνόματος λόγος ὕστερος· ὅθεν καὶ ὀνομάζεσθαι λέγεται ἐκ τῶν αἰτιατῶν αὐτοῦ.

## XXXV. — Ὅτι τὰ πολλὰ ὀνόματα περὶ Θεοῦ οὐκ εἰσὶ πολυώνυμα. f. 23

Ἔτι δὲ δῆλον ἐκ τούτων, ὡς εἰ καὶ τὰ περὶ Θεοῦ ὀνόματα τὸ αὐτὸ σημαίνουσι πρᾶγμα, ἀλλ' οὐκ εἰσὶ πολυώνυμα· οὐ γὰρ τὸν αὐτὸν σημαίνουσι λόγον· κἀντεῦθεν ὁ ἡμέτερος νοῦς, περὶ ἑνὸς πλείω περιλαμβάνων, οὐκ ἔστι ψευδὴς οὔτε μάταιος· τὸ γὰρ ἁπλοῦς ἐκεῖνος θεῖον εἶναι τοιοῦτον

---

**33 et 36 et p. 26, l. 3** *πολυώνυμα* **sic. S. Thomas:** ***synonyma***

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006